# Zecharias' Soliloquy, Luke 1:68-79

| | *Cumulative* |
|---|---|
| 68 Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ,[14] ὅτι ἐπεσκέψατο [6] καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ, [11] | 31 |
| 69 καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν [11] ἐν οἴκῳ Δαυὶδ παιδὸς αὐτοῦ, [9] | 51 |
| 70 καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων [15] ἀπ’ αἰῶνος προφητῶν αὐτοῦ, [9] | 75 |
| 71 σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν [9] καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς, [12] | 96 |
| 72 ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν [12] καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, [13] | 121 |
| 73 ὅρκον ὃν ὤμοσεν πρὸς ’Αβραὰμ [10] τὸν πατέρα ἡμῶν, [6] τοῦ δοῦναι ἡμῖν [5] | 142 |
| 74 ἀφόβως ἐκ χειρὸς ἐχθρῶν ῥυσθέντας [11] λατρεύειν αὐτῷ [5] | 158 |
| 75 ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ [17] πάσαις ταῖς ἡμέραις ἡμῶν [8] | 183 |
| 76 Καὶ σὺ δέ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· [15] προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, [19] | 217 |
| 77 τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ [12] ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, [10] | 239 |
| 78 διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, [10] ἐν οἷς ἐπισκέψεται ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, [15] | 264 |
| 79 ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, [18] | 282 |
| τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. [16] | 298 |